# Γ'.

## ΔΙΚΑΣΤΙΚΑ.

### Δικαστικὴ ἀπόφασις συνταχθεῖσα ὑπὸ Ψελλοῦ?

Τοῦ αὐτοῦ· ὑπόμνημα ἕτερον. φ. 43ᵛ.

Τῶν τοῦ πάππου δικαίων ὡς ἐδόκει ἐχόμενος ὁ πρωτοσπαθάριος Ἰωάννης καὶ βεστιαρίτης ὁ Ἰβηρίτζης, ὧν οὐ μετῆν τῷ πατρί, δίκην τινὰ ἀργῶν οἶμαι καὶ παίζων ἀνεπλάσατο καὶ ἐμόρφωσεν, ἥτις αὐτῷ μὲν τῷ πράγματι ἀνυπόστατος ἦν, σκιὰν δέ τινα καὶ μορφὴν ὑποστάσεως παρ' αὐτοῦ εἴληφε, καὶ ἦν ὡς ἀληθῶς εἰκασμένη τοῖς καθ' ὕπνον φανταζομένοις ἃ δὴ τὸ ἄλογον καὶ παθητικὸν τῆς ψυχῆς μέρος ὑφίστησιν· ἐπλάττετο δὲ τὴν ἀνύπαρκτον | κατὰ στάσιν οὕτως ὑπόθεσιν. Τὸ γὰρ προάστειον φ. 44. ἔφασκεν ὃ καλεῖται Βιβάριον, ὁ πάππος αὐτοῦ καὶ ἡ μάμμη διὰ χρυσοβούλλου δωρεᾶς τοῦ μακαρίτου βασιλέως κῦρ Βασιλείου κτησάμενοι, ἐκεῖνοι μὲν ὡς εἰκὸς ἀμφότερα εἶχον καὶ τὸ χρυσόβουλλον καὶ τὸ Βιβάριον, αὐτὸς δὲ θατέρου μὲν καὶ οὗ μᾶλλον ἐβούλετο, τοῦ κτήματος ἀπεστέρηται, θάτερον δὲ καὶ οὗ ἐρᾷ ἔλαττον, κενὸν καὶ ἀνόνητον κέκτηται· καὶ δυεῖν ἔλεγε δεῖν γενέσθαι τὸ ἕτερον, ἢ τὸν μαγγλαβίτην Βασίλειον τὸν τοῦ Πικρίδου υἱὸν σὺν τῷ κτήματι καὶ τὸν χρυσόβουλλον λόγον λαβεῖν, καὶ τὴν δεσποτείαν ἔχειν ἀπαρασάλευτον, ἢ παραχωρῆσαι τούτῳ τοῦ κτήματος, καὶ μὴ τὸν μὲν ἔχειν τὴν κτῆσιν, τὸν δὲ τὸ κῦρος τῆς δεσποτείας τῆς κτίσεως.

Τοιαύτη μὲν αὐτῷ ἡ τῆς δίκης εἰσαγωγή, εἰ καὶ μὴ τοιαύτη· πρόσωπον γὰρ καὶ μορφήν τινα κρείττονα ὁ λόγος ἀττικίσας αὐτῇ περιτέθεικεν· ὡς γὰρ παρὰ τῆς ἐκείνου γλώττης ἐχεῖτο,